# Изъ исторіи Охридской и Ипекской патріархіи.

Поводомъ къ составленію настоящей исторической замѣтки послужило слѣдующее обстоятельство. Извѣстно, что, вообще, документы вселенской патріархіи изъ эпохи патріарха Іереміи I очень немногочисленны, и что по этой причинѣ и дѣятельность этого патріарха не выяснена. Изъ каталога къ собранію П. И. Севастьянова, находящемуся въ Румянцевскомъ музеѣ, я узналъ, что въ греческомъ кодексѣ этого музея подъ № 492 находится опредѣленіе патріарха Іереміи, касающееся охридской патріархіи[1]. У меня явилось желаніе видѣть этотъ документъ, чтобы узнать, имѣлъ ли онъ какое-либо отношеніе къ событію, сообщаемому Талаксомъ[2] и Мелетіемъ[3] относительно охридскаго архіепископа Прохора, и можно ли по нему опредѣлить, по крайней мѣрѣ, время, въ которое Прохоръ занималъ этотъ престолъ, такъ какъ, напримѣръ, въ *Очеркѣ славянскихъ церквей* прот. *Константина Добронравина* (стр. 60) никакой даты о немъ не имѣется. Благодаря содѣйствію Императорскаго Православнаго Палестинскаго Общества, Правленіемъ Румянцевскаго музея кодексъ этотъ былъ мнѣ присланъ, за что и приношу Правленію здѣсь свою глубокую благодарность. Документъ отчасти оправдалъ мои ожиданія, потому что въ немъ имѣется дата 1530 г., но дѣло не имѣетъ никакого отношенія къ тому, о чемъ сообщаютъ Талаксъ и Мелетій, и касается ссоры между охридскимъ архіепископомъ Прохоромъ и ипекскимъ архіепископомъ Павломъ по вопросу о церковномъ подчиненіи. Объ архіепископѣ Павлѣ говорится въ очеркѣ Добронра-

1) *А. Викторова*, Собраніе рукописей П. И. Севастьянова. Москва. 1881, стр. 12.
2) *Crusii*, Turcograecia. Basileae. 1584, стр. 163.
3) Μελετίου μητροπολίτου Ἀθηνῶν, Ἐκκλησιαστικὴ ἱστορία, т. III (ἐν Βιέννῃ 1784), стр. 369.

вина, но безъ указанія относящейся къ нему хронологической даты (стр. 150). Рѣшеніе вселенской Патріархіи было вызвано просьбою архіепископа Прохора и было въ пользу охридской патріархіи. Помѣщаемъ этотъ важный документъ въ подлинномъ его видѣ.

† Ἱερεμίας ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

† Ἦν μὲν ἄρα προσῆκον ὁμοῦ καὶ δίκαιον τὸ τὰ καλῶς ἀπ' ἀρχῆς νομοθετηθέντα τε καὶ πραχθέντα τὸ κῦρος ἔχειν ἀεὶ καὶ βέβαιον καὶ μὴ μετακινεῖσθαι παρὰ τῶν ὕστερον, μηδὲ δικαίου προφάσει... θ....[ἀν]ατρέπειν πράξεις συν[οδικὰ]ς καὶ πατριαρχικὰ καταλύειν πράγματα· ἐπεὶ δὲ τοῦτο συμβαίνει πολλάκις γίνεσθαι τῇ τῶν πραγμάτων μεταβολῇ, πάλιν ἡ πατριαρχικὴ ἀναθεώρησις ταῦτα διευθετεῖ καὶ εἰς τὰ τοῦ δικαίου τόπον ἀποκαθιστᾷ, καθώς περ καὶ αἱ συνοδικαὶ ἀποφάσεις διακελεύονται. Ἐπεὶ δὲ ἄρτι καὶ ὁ μακαριώτατος ἀρχιεπίσκοπος τῆς πρώτης Ἰουστινιανῆς, ἤτοι τῶν Ἀχριδῶν, ὁ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς κῦρις Πρόχορος, τοιαῦτα εὑρέθη πεπονθὼς εἰς τὴν ἐνορίαν αὐτοῦ (ἡ γὰρ τοῦ Πεκίου λεγομένη ἀρχιεπισκοπὴ ἄνωθεν μὲν καὶ ἐξ ἀρχῆς ἦν μὲν ὑποκειμένη τῇ ἐκκλησίᾳ αὐτῇ, τῇ τῶν Ἀχριδῶν δηλαδή, ἀπό τινος δέ, ὥς τινες φασί, βίας ἡρπάγη μὲν ἀπ' αὐτῆς καὶ εἰς αὐτονομίαν [συνέ]στη [μ]έχρι τινός, οὐ μὴν δὲ καὶ ἕως τ[έλου]ς οὕτω διέμεινεν, ἀλλὰ πάλιν τῇ ἐκκλησίᾳ αὐτοῦ προσετέθη καὶ ὑπόσπονδος αὐτῇ ἐγεγόνει, καθότι οὐδὲ γνώμῃ καὶ διακρίσει τινὸς τῶν οἰκουμενικῶν συνόδων τετίμηται, παραγενόμενος εἰς ἡμᾶς ἀνήγγελε τὰ παρακολουθήσαντα νεωστὶ ἐν τῇ ἐνορίᾳ αὐτοῦ. Παῦλος γάρ τις σχῆμα μὲν φέρων ποιμένος, λύκος γὰρ (sic) ὢν ἐν ἀληθείᾳ, οὐ τὸν ἀπόστολον Παῦλον μιμούμενος, ἀλλὰ τὸν ἀπόβλητον Σαμοσατέα, τῇ ἔξω ἀρχῇ χρησάμενος, ἔχων καὶ ἐκ τῶν λαϊκῶν τινας βοηθούς, διὰ δόσεως χρυσοῦ ἐβιάσατο τὴν τοῦ Πεκίου ἐκκλησίαν καὶ σὺν αὐτῇ καὶ ἄλλας ἀπέκοψεν ἐκκλησίας τῆς τῶν Ἀχριδῶν ἐπαρχίας. Καὶ ταῦτα δὲ ἀναγγείλας εἰς ἡμᾶς ὁ μακαριώτατος ἀρχιεπίσκοπος κῦρις Πρόχορος ἐδεήθη ἡμῶν, ὅπως κατὰ νόμους θεωρήσωμεν καὶ διακρίνωμεν ὅπερ ἂν ἦν νόμιμον καὶ κανονικόν. Καὶ δὴ τῇ ἀξιώσει τοῦ ῥηθέντος μακαριωτάτου ἀρχιεπισκόπου Ἀχριδῶν κατανεύσαντες καὶ συνοδικῶς συνδιασκεψάμενοι διέγνωμεν καὶ ἀπεφηνάμεθα, ἵνα ὁ μὲν δηλωθεὶς Παῦλος ὡς ἀκανόνιστα πράξας ὑπάρχῃ ὑποκείμενος τῇ καθαιρέσει, ὁπόταν συναχθῇ σύνοδος τῶν ἀρχιερέων ἐν τῇ ἐνορίᾳ αὐτῶν, κατὰ τὸν κανόνα τὸν λέγοντα· «Εἴ τις κοσμικοῖς ἄρχουσι χρησάμενος δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένοιτο, καθαιρείσθω καὶ ἀφοριζέσθω, καὶ αὐτὸς καὶ οἱ συγκοινωνοῦντες αὐτῷ πάντες· οἱ δὲ συνέταιροι ἵνα ὦσιν ἀφωρισμένοι ἀπὸ Θεοῦ παντοκρά-

τορος καὶ ἀσυγχώρητοι, εἰ μὴ μεταγνοίη καὶ μετανοήσαιεν καὶ τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ προσπέσειεν». Ἐπεὶ δὲ καὶ χρυσόβουλλα βασιλικὰ εὑρίσκονται παλαιγενῆ, δηλοποιοῦντα ἅπασαν τὴν τοῦ Πεκίου ἐνορίαν σὺν τῇ Σερβίᾳ γνησίαν εἶναι τῆς ἀρχιεπισκοπῆς τῶν Ἀχριδῶν, καὶ ἡ μετριότης ἡμῶν, κατὰ τὴν περίληψιν τῶν δηλωθέντων γραμμάτων, γνώμῃ συνοδικῇ ὁρίζει καὶ ἀποφαίνεται ἵνα τὸ Πέκιον καὶ ἅπασα ἡ τῆς Σερβίας ἐνορία ὑπάρχωσιν ὑπὸ τὴν χεῖρα τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Ἀχριδῶν, καθὼς καὶ ἀπ' ἀρχῆς καὶ ἕως τοῦ νῦν ὑπετάσσοντο· καὶ ὅστις ἀπὸ τοῦ νῦν ἐθελήσει παρενόχλησιν δοῦναί τινα περὶ αὐτῶν, ὁ τοιοῦτος, κἂν ὁποῖος ᾖ, ἵνα ᾖ ἀφωρισμένος ἀπὸ Θεοῦ παντοκράτορος καὶ ἀσυγχώρητος ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα γενήσηται. Οὕτως ἐν ἁγίῳ ἀποφαινόμεθα πνεύματι, καὶ εἰς τὴν περὶ τούτου δήλωσιν ἐγένετο καὶ ἡ παροῦσα ἔγγραφος ἀπόφασις τῆς ἡμῶν μετριότητος καὶ ἐπεδόθη τῇ ἁγιωτάτῃ ἀρχιεπισκοπῇ τῆς πρώτης Ἰουστινιανῆς, τῆς ἐν τῇ Ἀχρίδᾳ (sic), ἐν ἔτει ͵ζλθ', μηνὶ σεπτεμβρίῳ ἰνδικτιῶνος δ'.

**А. Пападопуло-Керамевсъ.**